*Athens Olympics 2004 Ode - Armand D'Angour*

τᾶς Ἀθάνας γᾶς ἱερὸν τέμενος
καὶ πόλιν ἀθάνατον Θησέος καὶ
Ἐρεχθεϊδᾶν
ὑμνήσομεν, ἔνθεν Ἀθαναῖοι παλαιοί
καί ποθ᾽ ἥρωες πρὸς ἀγῶν αμόλον
τᾶς Ὀλυμπίας φαεννᾶς·
νῦν τάδ᾽ ἄεθλα χρόνῳ δευτέρῳ σὺν τύχᾳ
αὖθίσεδεξαμέναν
ἀγλαΐζωμεν μέλει σὺν Πινδαρείῳ.

δεῦτ᾽ ἐς ὀμφαλόν, νέοι ἠδὲ κόραι
τηλόθεν ἐρχόμενοι χωρῶν ἀπὸ
μυριάδων,
ἀλκᾷ μὲν ἀγαλλόμενοι γνώμᾳ τε πιστοί
ἀμφὶ νίκας, ἡσυχίας τε χάριν
ἀντιαζέμεν πρόθυμοι.
τοῖς γὰρ ἀεθλοφόροις ἔσσεται μὲν χάρις
ἀμφ᾽ ἀρεταῖς μεγάλαις.
ἐν δ᾽ ἀώτῳ μοθσικᾶς σφε κωμάσωμεν.

ἄλλοτε δ᾽ ἄλλῳ ἑπέσθω φίλον εὐτυχίας
δῶρον Ὀλυμπιονίκαις, δίδωσι γὰρ θεός
οἷς θέμις καὶ καιρὸς ἔπεστι λαχεῖν.
ἀλλὰ σὺν θεῷ γε λάμποι φάος ἀθάνατον
καὶ τᾷ πόλει,
τᾶς ξενίας ἕνεκεν τᾶς τε φιλοφροσύνας.
ὦ ματροπόλις σοφίας ἐξαίρετος
καθ᾽ Ἑλλάδα,
νῦν ἀσμένως δέξαι τόδ᾽ ἄγαλμα λόγων
ἀρχαΐῳ τετελεσμένον τρόπῳ.
τέλος δὲ καὶ φωνᾷ μεγάλᾳ μακαρίζω-
μεν σ᾽ ἀκμάζοισαν ὄλβῳ.